βάσει τῇ εζ ἴση ἐστί· καὶ τὸ αβγ τρίγωνον τῷ δεζ
τριγώνῳ ἴσον ἔσται· καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς
γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ· ὑφ' ἃς αἱ
ἴσαι πλευραὶ ὑποτείνουσιν· ἡ μὲν ὑπὸ αβγ τῇ ὑπὸ δεζ· ἡ δὲ
ὑπὸ αγβ τῇ ὑπὸ δζε· ἐφαρμοζομένου γὰρ τοῦ αβγ τριγώνου
ἐπὶ τὸ δεζ τρίγωνον· καὶ τιθεμένου τοῦ α σημείου ἐπὶ τὸ δ
σημεῖον· τῆς δὲ αβ εὐθείας ἐπὶ τὴν δε· ἐφαρμόσει καὶ τὸ β
σημεῖον ἐπὶ τὸ ε· διὰ τὸ ἴσην εἶναι τὴν αβ τῇ δε· ἐφαρμοσάσης
δὲ τῆς αβ ἐπὶ τὴν δε· ἐφαρμόσει καὶ ἡ αγ εὐθεῖα ἐπὶ τὴν δζ διὰ
τὸ ἴσην εἶναι τὴν ὑπὸ βαγ γωνίαν τῇ ὑπὸ εδζ· ὥστε καὶ τὸ γ
σημεῖον ἐπὶ τὸ ζ σημεῖον ἐφαρμόσει· διὰ τὸ ἴσην εἶναι πάλιν
τὴν αγ τῇ δζ· ἀλλὰ μὴν καὶ τὸ β ἐπὶ τὸ ε ἐφηρμόκει· ὥστε βάσις
ἡ βγ ἐπὶ βάσιν τὴν εζ ἐφαρμόσει· εἰ γὰρ τοῦ μὲν β ἐπὶ τὸ
ε ἐφαρμόσαντος τοῦ δὲ γ ἐπὶ τὸ ζ ἡ βγ βάσις ἐπὶ τὴν εζ
οὐκ ἐφαρμόσει· δύο εὐθεῖαι χωρίον περιέξουσιν· ὅπερ ἐστὶν
ἀδύνατον· ἐφαρμόσει ἄρα ἡ βγ βάσις ἐπὶ τὴν εζ· καὶ
ἴση αὐτῇ ἔσται· ὥστε καὶ ὅλον τὸ αβγ τρίγωνον ἐπὶ ὅλον τὸ δεζ
τρίγωνον ἐφαρμόσει καὶ ἴσον αὐτῷ ἔσται· καὶ αἱ λοιπαὶ γωνίαι

παραθέσει

ἐπὶ τὰς λοιπὰς γωνίας ἐφαρμόσουσι καὶ ἴσαι αὐταῖς ἔσον-
ται· ἡ μὲν ὑπὸ αβγ τῇ ὑπὸ δεζ· ἡ δὲ ὑπὸ αγβ τῇ ὑπὸ δζε·
ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δύο πλευραῖς ἴσας
ἔχῃ ἑκατέραν ἑκατέρᾳ· καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην
ἔχῃ τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην· καὶ τὴν βάσιν τῇ βά-
σει ἴσην ἕξει· καὶ τὸ τρίγωνον τῷ τριγώνῳ
ἴσον ἔσται· καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοι-
παῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα
ἑκατέρᾳ ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτεί-
νουσιν· ὅπερ ἔδει δεῖξαι·



ε Τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλ-
λήλαις εἰσί· καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν αἱ ὑπὸ τὴν
βάσιν γωνίαι ἴσαι ἀλλήλαις ἔσονται· ἔστω τρίγωνον ἰσοσκελὲς
τὸ αβγ ἴσην ἔχον τὴν αβ πλευρὰν τῇ αγ πλευρᾷ· καὶ
προσεκβεβλήσθωσαν ἐπ' εὐθείας ταῖς αβ αγ εὐθεῖαι αἱ
βδ γε· λέγω ὅτι ἡ μὲν ὑπὸ αβγ γωνία τῇ ὑπὸ αγβ
ἴση ἐστίν· ἡ δὲ ὑπὸ γβδ τῇ ὑπὸ βγε· εἰλήφθω γὰρ ἐπὶ